οὐ γάρ πω, Νίκανδρε, βολὰς ἐδάημεν Ἔρωτος
νῦν μόνον, ἀλλὰ πόθων πολλάκις ἡψάμεθα.
καὶ σὺ μέν, Ἀδρήστεια, κακῆς ἀντάξια βουλῆς
τῖσαι καὶ μακάρων πικροτάτη Νέμεσις.

## XXXII

ἐσβέσθη Νίκανδρος — ἀπέπτατο πᾶν ἀπὸ χροιῆς
ἄνθος, καὶ χαρίτων λοιπὸν ἔτ᾽ οὐδ᾽ ὄνομα —
ὃν πρὶν ἐν ἀθανάτοις ἐνομίζομεν. ἀλλὰ φρονεῖτε
μηδὲν ὑπὲρ θνητούς, ὦ νέοι· εἰσὶ τρίχες.

## XXXIII

οὔτι μάταν θνατοῖσι φάτις τοιάδε βοᾶται,
ὡς οὐ πάντα θεοὶ πᾶσιν ἔδωκαν ἔχειν·
εἶδος μὲν γὰρ ἄμωμον, ἐπ᾽ ὄμμασι δ᾽ ἁ περίσαμος
αἰδώς, καὶ στέρνοις ἀμφιτέθαλε χάρις,
οἷσι καὶ ἠιθέους ἐπιδάμνασαι· ἀλλ᾽ ἐπὶ ποσσίν
οὐκέτι τὰν αὐτὰν δῶκαν ἔχειν σε χάριν.
πλὴν κρηπὶς κρύψει ποδὸς ἴχνιον, ὦγαθὲ Πύρρε,
κάλλει δὲ σφετέρῳ τέρψει ἀγαλλόμενον.

## XXXIV

κωμάσομαι, μεθύω γὰρ ὅλως μέγα· παῖ, λαβὲ τοῦτον
τὸν στέφανον τὸν ἐμοῖς δάκρυσι λουόμενον.
μακρὴν δ᾽ οὐχὶ μάτην ὁδὸν ἵξομαι· ἔστι δ᾽ ἀωρί
καὶ σκότος, ἀλλὰ μέγας φανὸς ἐμοὶ Θεμίσων.